τῇ δ' οὔ. καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐκεῖνο τῆς γῆς τὸ σῶμα, γλυκύτητός τινος κατὰ πάντα τρόπον μετέχον, εἰ καὶ τὸ γένος τοῦτο ἐξ ὕδατός ἐστιν, ὃ ἐξέρχεται ἐξ αὐτῆς τῆς γῆς ὡς ἱδρώς.

Κεφάλαιον γ.

Πρὸς τούτοις ὀφείλομεν εἰδέναι, ὅτι καὶ αἱ βοτάναι καὶ τὰ [τούτων] εἴδη, οὐκ εἰσὶν εἰ μὴ ἐκ συνθέσεως, καὶ οὐκ ἐξ ὕλης ἁπλῆς, ἀλλ' ὥσπερ ἐστὶν ἡ ἁλυκότης ἀπὸ τοῦ ὕδατος τῆς θαλάσσης, καὶ τῆς οὐσίας τῶν ψάμμων. αἱ ἀναθυμιάσεις γὰρ ἀναβαίνουσαι, ὅταν συμπαγῶσι, δύνανται συμπεριλαβεῖν τὴν αἰτίαν τῆς τῶν βοτανῶν ὑπάρξεως. καταπίπτει γὰρ ἀὴρ ἐντεῦθεν, καὶ δροσίζει τὸν τόπον, καὶ περιέρχονται ἐξ αὐτοῦ διὰ τῆς δυνάμεως τῶν ἀστέρων, τὰ εἴδη τῶν σπερμάτων. ὕλη δὲ ἀναγκαία ἐστὶ τὸ ὕδωρ, εἰ καὶ διαφορά ἐστιν ἐν τῷ γένει τοῦ ὕδατος. τὸ γὰρ ἀνερχόμενον οὐκ ἔστιν εἰ μὴ ὕδωρ γλυκύ· τὸ δὲ ἁλμυρὸν, βαρύ ἐστι, καὶ οὐ συναναβαίνει τῷ γλυκεῖ· τὸ δὲ ὑπερβαῖνον, τοῦτο τὸ λεπτότερόν ἐστι τοῦ ὕδατος. ὃ δὴ ἂν ἐφελκυσθείη ὑπὸ τοῦ ἀέρος, λεπτύνεται, καὶ ἐπιπλεῖον ἀναβαίνει· κἀντεῦθεν γίνονται πηγαὶ καὶ ποταμοὶ ἐν τοῖς ὄρεσι, καὶ εἰς πολὺ διατρέχουσι. καὶ σημεῖον τούτου ἐστὶ φλέγμα καὶ αἷμα τὸ ἀνερχόμενον εἰς τὸν ἐγκέφαλον. ὥσπερ γάρ τι ἐκ τῶν τροφῶν μετὰ τῆς ἀναθυμιάσεως ἀνέρχεται, οὕτω καὶ εἰς πάντα τὰ ὕδατα. καὶ γὰρ καί τι τοῦ ὕδατος τοῦ ἁλυκοῦ ἄνεισι μετ' ἐκείνου ὃ ἐξήρανεν ἡ θερμότης, εἰς τὸ εἶδος τοῦ ἀέρος, ὅς ἐστιν ἀκριβῶς ὑπεράνω παντὸς γλυκέος ὕδατος καὶ ἁλμυροῦ. παράδειγμα δὲ τοῦ λόγου τούτου εὑρήκαμεν πολλάκις ἐν τοῖς βαλανείοις. ὅταν γὰρ τὸ ὕδωρ τὸ ἁλμυρὸν καταλάβῃ θερμότης, λεπτύνει τὰ μέρη αὐτοῦ, ἀναβαίνει τε ἡ ἀναθυμίασις, ἥτις ἦν ἐν τῷ ἐδάφει τοῦ βαλανείου, καὶ ἀναχωροῦσι τὰ πυκνὰ μέρη τῆς ἁλυκότητος μετὰ τοῦ ὑγροῦ τοῦ φυσικοῦ, (οὐδὲ γάρ εἰσιν ἐκ τοῦ γένους τοῦ ἀέρος) ἵνα ἀκολουθήσωσι τῇ ἀναθυμιάσει, ἥτις μία μετὰ τὴν ἄλλην περιχωρεῖ ἄνω. ὅταν γοῦν περιχωρήσωσι πολλαί, καταπιέζεται ὁ ὄροφος· καὶ πόθεν συνάγεται, καὶ συμπήγνυται, καὶ ἐπιστρέφει, καὶ κάτω στάζει τὸ ὕδωρ τὸ γλυκύ. καὶ οὕτως ἐν πᾶσι τοῖς βαλανείοις τοῖς ἁλμυροῖς ἐστιν ὕδωρ γλυκύ. αἱ τοίνυν βοτάναι αἱ φυόμεναι ἐν τοῖς ὕδασι τοῖς ἁλυκοῖς, οὐκ ὀφείλουσιν ἔχειν πληθυσμὸν, διὰ τὴν ξηρότητα. καὶ γὰρ τὸ φυτὸν δύο δεῖται, ὕλης λέγω καὶ τόπου, τῇ ἰδίᾳ φύσει ἁρμοζόντων. ὅταν γοῦν τὰ τοιαῦτα δύο παρῶσιν ὁμοῦ, προκόπτει τὸ φυτόν. ὅταν δὲ εὕρωμεν ὕλην πορρωτάτω τῆς εὐκρασίας, ἐπικενής

A & idcirco non omnino est istud terræ corpus, dulcedine aliqua modis omnibus participans. Licet ex aqua hoc genus sit, quæ è terra tanquam sudor exit.

CAPVT III.

Eodem modo cognoscere debemus, quòd herbæ, earúmque species non aliunde, quàm è compositione sunt, non è materia simplici, sed vt salsedo ex aqua
B maris, & substantia arenæ est. Vapores enim ascendentes cùm fuerint coagulati, amplecti possunt causam herbarum substantiæ. Excidit enim aer eo, & locum rore madefacit, proueniéntque ex eo virtute stellarum scilicet illorum seminum species. Sed materia necessaria, aqua est, quanuis differentia sit in aquæ genere. Quod enim ascendit aliud quàm aqua dulcis non est. Salsa autem grauior est, nec vna cum dulci ascendit. Quod autem
C ascendit, id tenuius ex aqua est: quod cùm attractum ab aere fuerit, attenuatur, magísque ascendit. Et inde fontes fiunt, ac flumina in montibus, & per longa spatia decurrunt. Et signum huiusce est pituita, & sanguis ad cerebrum ascendens. Vt enim ex alimento vnà cum vaporibus ascendit quippiam, ita in aquis omnibus. Etenim salsæ aquæ nonnihil vnà cum eo ascendit, quod calor in aeris
D naturam siccarit, qui supra aquam dulcem omnem ac salsam, exquisitè est. Cuius rei exemplum in balneis sæpenumero deprehendimus. Nam cùm aquam dulcem oppresserit calor, attenuabuntur partes eius, ascendítque vapor, qui in fundo balnei erat & recedunt densæ partes salsedinis: neque enim ex aeris sunt genere, vt sequantur vaporem, qui vnus post alium sursum pergit. Cùm itaque multi
E accesserint, absorbet eos tectum. Inde coguntur spissantúrque, & redit deorsum guttatim stillans aqua dulcis. Sic in omnibus balneis salsis, aqua dulcis est. In aqua itaque salsa nascentes herbæ, non debent esse plenæ, ob siccitatem. Etenim planta duobus indiget, materia scilicet, & loco naturæ suæ conuenienti. Cùm itaque hæc ambo adfuerint, prouenit planta.
F Vbi verò deprehenderimus materiem à temperamēto esse remotissimā, inanis est: